ὑπεναντίον τε μηθὲν ὧν ποε̣ῖ̣[ϲ ποεῖν
δόξαϲ, ἔχειϲ τὸν ἄνδρ' ἀφύλακτον, ἐ[
τῶν πραττομένων, τῆϲ οἰκίαϲ· ὃν [δ' ἂν τρόπον
βούληι διοικηθήϲεται τὰ λοιπά ϲοι.

(ΠΟΡΝΟΒΟϹΚΟϹ)

χ]οῦτ̣[οϲ ῥ]α̣χ̣ι̣ϲτὴϲ φανερόϲ; οὐ λιμοὶ [
ἔχοντεϲ ἐν ταῖϲ χερϲίν, ἄλλο δ' οὐδὲ ἕν,
ὧν ἔϲ̣θ' ὁ γείτων. ἀλλ' ἐὰν αἴϲθηθ' ὅμ̣[ωϲ
πρόϲειϲιν ἑξήκονθ' ἑταίρουϲ παραλαβών,
ὅϲ]ουϲ Ὀδυϲϲεὺϲ ἦλθεν εἰϲ Τροίαν ἔχων,
βο]ῶν ἀπειλῶν· "ἄν ϲε μή, μαϲτιγία—
.....π]έπρακαϲ πλεόν ἔχοντι χρυϲ̣ί̣ο̣[ν
....]..τι[ ]...πωλῶ; μὰ τοὺϲ δώδεκα θεούϲ,
....]όμενοϲ διὰ τοῦτον. ἢ μί' ἐλάμβανεν
ὅϲον οὐχ]ὶ δέκα, τρεῖϲ μνᾶϲ ἑκάϲτηϲ ἡμέραϲ
παρὰ τοῦ] ξένου. δέδοικα δ' οὕτω λαμβάνειν·
ἐκ τῆϲ ὁ]δοῦ γὰρ ἁρπάϲονθ', ὅταν τύχηι,
αὐτήν.] δικάϲομαι, πράγμαθ' ἕξω, μάρ̣τ̣[υραϲ

## FRAGMENTA ALIVNDE NOTA

### 1 (292 Kock)

ATHENAEVS 659 d. *Μένανδροϲ ἐν Κόλακι τὸν τοῖϲ τετραδιϲταῖϲ διακονούμενον μάγειρον ἐν τῆι τῆϲ πανδήμου Ἀφροδίτηϲ ἑορτῆι ποιεῖ ταυτὶ λέγοντα·*